Σχόλια. Ολίγον ζητῶν.] τοῦτο λέγει ὅτι ἄγροικοι A μόνοι εἰσὶν οἱ μισοδικασταὶ, ὡς ὀλίγων ὄντων τῶν μισοδικῶν καὶ τῶν ἀγροίκων. ἀεὶ δὲ τούς τε ἱππεῖς ἐπαινεῖ ἅμα, καὶ ὅτι τὰ σπανίζοντα τῶν σπερμάτων, μᾶλλον παρὰ τοῖς ἀγροίκοις εὑρίσκονται.

Εἴ τινα πόλιν φράσειας ἡμῖν εὔερον,
Ὥσπερ σισύραν ἐγκατακλινθῆναι μαλθακήν.
B Επ. Ἔπειτα μείζω τῶν κραναῶν ζητεῖς πόλιν;
Ευ. Μείζω μὲν οὐδὲν, προσφορωτέραν δὲ νῷν.
Επ. Ἀριστοκρατεῖσθαι δῆλος εἶ ζητῶν. Ευ. ἐγώ;
Ἥκιστα. καὶ τὸν Σκελλίου βδελύττομαι.
Επ. Ποίαν τιν' οὖν ἥδιστ' ἂν οἰκοῖτ' ἂν πόλιν.
Ευ. Ὅπου τὰ μέγιστα πράγματ' εἴη τοιάδε.
Ἐπὶ τὴν θύραν μου πρῴ τις ἐλθὼν τῶν φίλων,
Λέγοι μοι ταδί. πρὸς τοῦ Διὸς τοὐλυμπίου
C Ὅπως παρέσει μοι καὶ σὺ καὶ τὰ παιδία,
Λουσάμενα πρῴ. μέλλω γὰρ ἑστιᾶν γάμους
Καὶ μηδαμῶς ἄλλως ποιήσῃς. εἰ δὲ μὴ,
Μή μοι τότ' ἔλθῃς ὅταν ἐγὼ πράττω κακῶς.
Επ. Νὴ Δία ταλαιπώρων γε πραγμάτων ἐρᾷς.
Τί δαὶ σύ; Πει. τοιούτων ἐρῶ κἀγώ. Επ. τίνων;
Πει. Ὅπου ξυναντῶν μοι ταδί τις μέμψεται.
Ὥσπερ ἀδικηθεὶς παιδὸς ὡραίου πατήρ,
D Καλῶς γέ μοι τὸν υἱὸν ὦ Στιλβωνίδη
Εὑρὼν ἀπιόντ' ἀπὸ γυμνασίου λελουμένον,
Οὐκ ἔκυσας. οὐ προσεῖπας. οὐ προσηγάγου.
Οὐκ ὠρχιπέδισας, ὢν ἐμοὶ πατρικὸς φίλος.
Επ. Ὦ δειλακρίων σὺ, τῶν κακῶν οἵων ἐρᾷς.
Ἀτὰρ, ἔστι γ' ὁποίαν λέγετον εὐδαίμων πόλις,
E Παρὰ τὴν ἐρυθρὰν θάλατταν. Ευ. οἴμοι. μηδαμῶς
Ἡμῖν παρὰ τὴν θάλατταν, ἵν' ἀνακύψεται
Κλητῆρ' ἄγουσ' ἕωθεν ἡ Σαλαμινία.
Ἑλληνικὴν δὲ πόλιν ἔχεις ἡμῖν φράσαι;

*Si quam ciuitatem diceres nobis bene lanatam,*
*Tanquam pelliceam inclinari mollem.*
*EP. Postea maiorem asperis quæris ciuitatem?*
*EV. Maiorem nihil, commodiorem autem nobis.*
*EP. Optimè imperare manifestus es quærens.*
*EV. Ego?*
*Minimè, & hunc Scellij odi.*
*EP. Qualem igitur suauissimè habitabitis ciuitatem?*
*EV. Vbi maximæ res essent tales.*
*Ad ianuam meam ante veniens aliquis amicorum*
*Dicat hæc per Iouem Olympicum,*
*Vt adsis mihi & tu & filioli*
*Loti manè: curo enim comedere nuptias,*
*Et nullo modo aliter facies. si autem non,*
*Ne mihi tunc venias quando ego facio malè.*
*EP. Per Iouem miseras res amas,*
*Quid autem tu? PI. Tales amo ego. EP. Quas?*
*PI. Vbi obuiantium mihi hæc aliquis accusabit,*
*Tanquam iniustitia affectus filij pulchri pater.*
*Benè mihi filium ô Stilbonide,*
*Inueniens abeuntem à gymnasio lotum,*
*Non osculatus es, non salutasti, non adduxisti,*
*Non testiculos tetigisti, existens mihi patrius amicus.*
*EP. O miserrime, tu mala qualia amas?*
*At est qualem dicitus fortunata ciuitas*
*Apud rubrum mare. EV. Heu mihi nullo modo,*
*Nobis apud mare vbi reflectitur,*
*Vocatum ducens mane Salaminia.*
*Græcam autem ciuitatem potes nobis dicere?*

Σχόλια. Εὔερον.] ἀντὶ μαλακὴν ὥσπερ σισύραν εὐέριον. Πλάτων. καὶ τοῦτον εὐερίας ἀπολέλαυκεν ὁ Ὑπέρβολος, ὥστε αὐχμωδέστατός ἐστι. Κρατῖνος. γλῶσσαν εὐέρων βοτῶν. λέγει δὲ περὶ τῶν προβάτων. F Σισύραν.] διαφέρουσι σισύρνα καὶ σισύρα καὶ σίσυς. σισύρα μέν ἐστι, τὸ ἐξ αἰγείων δερμάτων ἔχον ἔτι τὰς τρίχας σκέπαστρον. τὴν δὲ σισύρναν οἱ κατὰ Λιβύην λέγουσι τὸ ἐκ τῶν κωδίων ῥαπτόμενον ἀμπεχόνιον. σίσυς δέ ἐστι παχὺ ἱμάτιον εὐτελὲς, μικρὸν, ἐπιτήδειον εἰς ἓν ἅπτεσθαι διὰ ἐξωμίδιον. Ἐρατοσθένης δέ φησιν ὅτι καθάπερ τὸ δένδρον τὸ αὐτὸ καὶ ἄνδραχνον καὶ ἀνδράχνην καλούμενον, οὕτως ᾤοντο σισύραν καὶ σίσυν ἐπὶ τοῦ αὐτοῦ μετέχεσθαι. G καὶ τρίτην προσλαμβάνουσι σισύρναν οἱ κατὰ Λιβύην τὸ ἐκ τῶν κωδίων τὸ ἀμπεχόνιον καλούμενον. Ἐγκατακλινθῆναι.] οὕτως Ἀττικοί. ὡς ἐν Νεφέλαις. ἀλλ' ἐγκατακλινῆ δευεί. τὸ δὲ ἀλλόκοινον τουτέστι τὸ ἐγκατακλινθῆναι. Τῶν κραναῶν.] τῶν Ἀθηνῶν. διὰ τὸ τραχὺ καὶ λεπτόγεων. ἢ ἀπὸ Κραναοῦ βασιλέως. Προσφορωτέραν δὲ νῷν.] ἀντὶ τοῦ ἡμῖν ἐπιτηδείαν, ἄλλην ζητοῦμεν. Ἀριστοκρατεῖσθαι.] ἀντὶ τοῦ ὀλιγαρχεῖσθαι. Ἀριστοκράτης δὲ Σκελλίου υἱὸς, ἐπεβούλευσεν εἰς κατάλυσιν τοῦ δήμου. ἄλλως. ἀρίστους κεκριμένους θέλεις ἔχειν ἄρχοντας τοῦ δήμου καὶ τῆς πόλεως. οἵα ἡ παρὰ Λακεδαιμονίοις πολιτεία ἦν. ἡ γὰρ τῶν Ἀθηναίων δημοκρατία ἦν. Καὶ τὸν Σκελλίου.] παρὰ τὸ ὄνομα πέπαιχεν. ἐπεὶ Ἀριστοκράτης Σκελλίου υἱὸς ἦν. ὃν ὁ ῥήτωρ Δημοσθένης ἔγραψεν. ἀριστοκρατία δὲ, ἡ ὀλιγαρχία. οὕτως οὖν φησι μισῶ τὴν ἀριστοκρατίαν, ὅτι καὶ τὸν ἀριστοκράτην, ὅτι κέκληται τῷ ὀνόματι τούτῳ. Ἐπὶ τὴν θύραν μου πρῴ.] πρῴ νῦν οὐ τὴν πρωΐαν. ἀλλὰ ἴσον τῷ, ἐν ὥρᾳ πρωΐ. οὕτω γάρ ἐστι τὸ πρῴ. διὸ ὀξύνεται. τὸ δὲ πρῷ περισπᾶται.

Bisetvs. Εὐστάθιος, πρῷ μονοσυλλάβως ἐν ἴσῳ τῷ πρωΐ, ὅ ἐστι πρὸ καιροῦ. τὸ δὲ πρῴ ὀξύτονον εἴρηται ὡς τὸ νῴ, κατ' ἀποκοπὴν τοῦ ι, ἀντὶ τοῦ νῶϊ, καὶ πρωΐ, εἴτε πρωί. τὰ δὲ νῴ, σφῴ, καὶ πρῴ διὰ τὴν συναίρεσιν οὕτω γράφεται, εἴπερ εὑρίσκεται, ὡς τὰ νῷν, σφῷν.

Σχόλια. Λουσάμενα πρῴ.] οὕτως Ἀττικοί. ὀξύνεται δὲ τὸ ι ἔχει ἀπὸ τοῦ πρωΐ γινόμενον. ὡς ἀπὸ βαρείας καὶ